Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

ΠΑΡΑΦΡΑΣΘΕΙΣΑ ΚΑΤΑ ΤΟ ΚΕΙΜΕΝΟΝ

ΤΟ ΕΚΔΟΘΕΝ ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ

ΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΤΗΣ ΕΛΛΑΔΟΣ.

ΕΝ ΛΟΝΔΙΝῼ,
TRÜBNER & CO., 60, PATERNOSTER ROW.

1865.

ΕΝ ΛΟΝΔΙΝΩι,

ΤΥΠΟΙΣ CLAYTON & CO., 17, BOUVERIE STREET,

FLEET STREET.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

ΚΕΙΜΕΝΟΝ.

Ὁ Διάκονος ἐξελθὼν τοῦ βήματος,[1] καὶ προσκυνήσας[2] τρὶς λέγει·

Εὐλόγησον Δέσποτα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός.

Ἀμήν.[3]

Εἶτα, ἀποκρινομένου τοῦ Χοροῦ τό,

Κύριε ἐλέησον,

---

[1] Βῆμα εἶναι τὸ συνήθως λεγόμενον Ἱερόν, ὡς ἀφωρισμένον εἰς τοὺς ἱερωμένους. Καλεῖται δὲ καὶ ἅγιον βῆμα.

[2] Ἐνώπιον δηλ. τῶν ἱερῶν εἰκόνων προσενέγκῃ τιμητικὴν καὶ οὐχὶ λατρευτικὴν προσκύνησιν, (ἥτις προσήκει μόνῳ τῷ Θεῷ) διὰ μετανοιῶν μικρῶν, (αἵτινες γίνονται δι᾽ ἐπισταυρώσεως καὶ κύψεως τῆς κεφαλῆς), ἢ μεγάλων (γονυκλισιῶν δηλ., αἵτινες ὅμως ἀπαγορεύονται τὰς Κυριακάς.)

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Διάκονος, ἀφ' οὗ ἐξέλθῃ τοῦ βήματος,[1] καὶ προσκυνήσῃ[2] τρεῖς φοράς, λέγει·

Εὐλόγησον Δέσποτα.

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Εὐλογημένη εἶναι ἡ Βασιλεία τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.*

Ὁ Χορὸς *(δηλ. τὸ ἄθροισμα τῶν Ψαλτῶν)*

Ἀμήν.[3]

Ἔπειτα, *ἐν ᾧ ἀποκρίνεται ὁ* Χορὸς *τό,*

Κύριε ἐλέησον,

---

* Εἶναι καὶ ὄχι ἂς ἦναι (εἴη)· δηλ. ὁ Ἱερεὺς λέγει τοῦτο ἀποφαντικῶς καὶ ὄχι εὐκτικῶς κατὰ τὸ Μάρκου 11, 10 " εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου."

[3] Ἀμὴν λέξις Ἑβραϊκὴ, κυρίως Ἀμέν, καὶ σημαίνει ὄντως, ἀληθῶς.

ΚΕΙΜΕΝΟΝ.

ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως,[1] τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν, (τοῦ δεῖνος) τοῦ τιμίου πρεσβυτερίου,[2] τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου, καὶ τοῦ λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον, τοῦ Κυρίου δεηθῶμεν.

---

[1] Ἡ ὀρθόδοξος ἀνατολικὴ ἐκκλησία νυχθημερὸν παρακαλεῖ διὰ τῶν λειτουργῶν αὐτῆς τὸν Ὕψιστον ὑπὲρ τῆς στερεώσεως τῶν ἁγίων Αὐτοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ τῆς ἑνώσεως πασῶν τῶν ἁπανταχοῦ τῆς γῆς ἐκκλησιῶν εἰς μίαν ἐκκλησίαν. Ἡ ὀρθόδοξος ἀνατολικὴ ἐκκλησία, ὡς ἀληθινὴ μήτηρ πασῶν τῶν λοιπῶν ἐκκλησιῶν, δὲν ἐπιθυμεῖ τὴν καταστροφὴν καὶ ἐξόντωσιν οὐδεμιᾶς τῶν ἐπὶ μέρους ἐκκλησιῶν, ἀλλ' εὔχεται καὶ παρακαλεῖ τὸν

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Διάκονος.

Μετ' εἰρήνης ἂς παρακαλέσωμεν τὸν Κύριον.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ ὑπὲρ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῆς εἰρήνης, ὑπὲρ τῆς στερεώσεως τῶν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν, καὶ ὑπὲρ τῆς τῶν πάντων ἑνώσεως.[1]

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ ὑπὲρ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσερχομένων (καὶ προσευχομένων) ἐν αὐτῷ.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τοῦ ἀρχιεπισκόπου (εἴτε ἐπισκόπου) (τοῦ δεῖνος), ὑπὲρ τοῦ τιμίου πρεσβυτερίου,[2] *τῆς ἐν Χριστῷ διακονίας, ὑπὲρ παντὸς τοῦ κλήρου, καὶ ὑπὲρ τοῦ λαοῦ.*

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῶν εὐσεβεστάτων καὶ θεοφυλάκτων βασιλέων ἡμῶν, ὑπὲρ παντὸς τοῦ παλατίου, καὶ τοῦ στρατοπέδου αὐτῶν.

Ἂς παρακαλέσωμεν τὸν Κύριον νὰ πολεμήσῃ μετ' αὐτῶν, καὶ νὰ ὑποτάξῃ ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Θεὸν νὰ εὐημερῶσιν ἅπασαι καὶ νὰ στερεῶνται ἐπὶ μᾶλλον καὶ μᾶλλον ἐπὶ τῆς πέτρας τῆς ἀληθείας, ὥστε τὰ τέκνα αὐτῶν, διαγνόντα τὴν ἀλήθειαν καὶ ἀποσκορακίσαντα τὰς πλάνας τῶν κατὰ τόπους ἐκκλησιῶν, ἑνωθῶσι πάλιν ὡς ἐν ἀρχῇ εἰς μίαν πάντα ἐκκλησίαν.

[2] *Τὸ σύστημα τῶν πρεσβυτέρων, τὸ ἱερατεῖον.*

ΚΕΙΜΕΝΟΝ.

Ὑπὲρ τῆς ἁγίας μονῆς[1] *ταύτης, πάσης πόλεως, χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.*

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες,[2] *ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν,*[3] *Χριστῷ τῷ Θεῷ παραθώμεθα.*

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ

---

[1] Ἡ δέησις αὕτη λέγεται, ὅταν ἡ λειτουργία τελῆται ἐν μοναστηρίῳ.

[2] Ἀφ' οὗ ἀναφέρωμεν δηλ. τὴν Παναγίαν θεοτόκον πρῶτον,

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῆς ἁγίας μονῆς[1] ταύτης, ὑπὲρ πάσης πόλεως, καὶ χώρας, καὶ ὑπὲρ τῶν μετὰ πίστεως (εἰς τὸν Κύριον ἡμῶν, τὸν Θεάνθρωπον Ἰησοῦν Χριστόν) κατοικούντων ἐν αὐταῖς.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ εὐκρασίας ἀέρων, ὑπὲρ εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ ὑπὲρ καιρῶν εἰρηνικῶν.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, πασχόντων, αἰχμαλώτων, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτῶν.

Ἂς παρακαλέσωμεν τὸν Κύριον, ἵνα ἐλευθερωθῶμεν (ὑπ' αὐτοῦ) ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ στενοχωρίας.

Βοήθησον, ὦ Θεέ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος.

Ἀφ' οὗ μνημονεύσωμεν τὴν Παναγίαν,[2] καθαρωτάτην, ὑπερευλογημένην, ἔνδοξον, δέσποιναν ἡμῶν θεοτόκον καὶ ἀειπαρθένον Μαρίαν, καὶ πάντας τοὺς ἁγίους, ἂς παρακαταθέσωμεν εἰς Χριστὸν τὸν Θεὸν ἡμῶν ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν.[3]

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Διότι εἰς Σὲ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ

καὶ πάντας τοὺς ἁγίους ἔπειτα ὡς μεσίτας καὶ πρεσβευτὰς ὑπὲρ ἡμῶν ἐνώπιον τοῦ Θεοῦ, ...

[3] Ἐνταῦθα λήγει ἡ μεγάλη συναπτή, εἴτε τὰ εἰρηνικά.

ΚΕΙΜΕΝΟΝ.

Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Α΄,[1]

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.[2]

Κύριε ὁ Θεὸς ἡμῶν, οὗ τὸ κράτος ἀνείκαστον, καὶ ἡ δόξα ἀκατάληπτος, οὗ τὸ ἔλεος ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἄφατος, αὐτὸς Δέσποτα κατὰ τὴν σὴν εὐσπλαγχνίαν ἐπίβλεψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὸν ἅγιον οἶκον τοῦτον, καὶ ποίησον μεθ' ἡμῶν, καὶ τῶν συνευχομένων ἡμῖν, πλούσια τὰ ἐλέη σου, καὶ τοὺς οἰκτιρμούς σου.

Ὁ Διάκονος.

Ἔτι,[3] καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

---

[1] Τὰ ἀντίφωνα σημαίνουσι τὸ κήρυγμα τῶν προφητῶν ἕως τοῦ προδρόμου.

[2] Καθ' ἑαυτὸν δηλονότι, καὶ οὐχὶ ἐκφώνως.

ΠΑΡΑΦΡΑΣΙΣ.

τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Α',[1]

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.[2]

Κύριε ὁ Θεὸς ἡμῶν, τοῦ ὁποίου οὔτε τὴν ἐξουσίαν δυνάμεθα νὰ στοχασθῶμεν, οὔτε τὴν δόξαν νὰ καταλάβωμεν, τοῦ ὁποίου τὸ ἔλεος εἶναι ἀμέτρητον, καὶ ἡ φιλανθρωπία ἀνέκφραστος, σὺ ὁ ἴδιος Δέσποτα διὰ τὴν σὴν εὐσπλαγχνίαν ἐπίβλεψον εἰς ἡμᾶς, καὶ εἰς τὸν ἅγιον οἶκον τοῦτον, καὶ δὸς εἰς ἡμᾶς καὶ τοὺς συνευχομένους μεθ' ἡμῶν πλούσια τὰ ἐλέη σου καὶ τοὺς οἰκτιρμούς σου.

Ὁ Διάκονος.

Ἔτι,[3] καὶ ἔτι (ἀκόμη καὶ ἀκόμη) μετ' εἰρήνης ἂς παρακαλέσωμεν τὸν Κύριον.

Βοήθησον, ὦ Θεέ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος.

Ἀφ' οὗ μνημονεύσωμεν τὴν Παναγίαν, καθαρωτάτην, ὑπερευλογημένην, ἔνδοξον δέσποιναν ἡμῶν θεοτόκον καὶ ἀειπαρθένον Μαρίαν, καὶ πάντας τοὺς ἁγίους, ἂς παρακαταθέσωμεν εἰς Χριστὸν τὸν Θεὸν ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν.

---

[3] Αὕτη εἶναι ἡ λεγομένη μικρὰ συναπτή, πρὸς ἀντίθεσιν τῆς ἀνωτέρω μεγάλης συναπτῆς.

ΚΕΙΜΕΝΟΝ.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Β',

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν[1] σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς . . . .

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου . . . .

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις,

---

[1] Κληρονομία δηλ. τὸ σύνολον τῶν κληρονόμων τῆς βασιλείας σου, οἵτινες εἶναι οἱ εἰς Χριστὸν πιστεύοντες, οἵτινες καὶ πλήρωμα τῆς ἐκκλησίας καλοῦνται· διότι ἡ μὲν ἐκκλησία παρί-

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Διότι σὴ εἶναι ἡ ἐξουσία, καὶ σοῦ εἶναι ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Β',

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν[1] σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ ἀντιδόξασον αὐτοὺς διὰ τῆς θεϊκῆς σου δυνάμεως καὶ μὴ ἀφήσῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ.

Ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι μετ' εἰρήνης ἂς παρακαλέσωμεν τὸν Κύριον.

Βοήθησον, ὦ Θεέ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς.

Ἀφ' οὗ μνημονεύσωμεν τὴν Παναγίαν, καθαρωτάτην, ὑπερευλογημένην, ἔνδοξον . . . .

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Διότι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις,

σταται ὡς πλοῖον, τὰ δὲ τέκνα τῆς ἐκκλησίας ὡς ἐπιβάται, ὁ δὲ Κύριος Ἰησοῦς ὡς κυβερνήτης τοῦ πλοίου, οἱ δὲ ἀπόστολοι καὶ διδάσκαλοι τῆς ἐκκλησίας ὡς ναῦται.

ΚΕΙΜΕΝΟΝ.

καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Γ',

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Ὁ τὰς κοινὰς ταύτας καὶ συμφώνους ἡμῖν χαρισάμενος προσευχάς, ὁ καὶ δυσὶ καὶ τρισὶ συμφωνοῦσιν ἐπὶ τῷ ὀνόματί σου τὰς αἰτήσεις παρέχειν ἐπαγγειλάμενος, αὐτὸς καὶ νῦν τῶν δούλων σου τὰ αἰτήματα πρὸς τὸ συμφέρον πλήρωσον, χορηγῶν ἡμῖν ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι ζωὴν αἰώνιον.

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ[1] ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ,

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, ποίησον σὺν τῇ εἰσόδῳ ἡμῶν εἴσοδον ἁγίων ἀγγέλων γενέσθαι, συλλειτουργούντων ἡμῖν, καὶ συνδοξολογούντων τὴν σὴν ἀγαθότητα. Ὅτι

[1] Ἡ εἴσοδος δηλοῖ τὴν εἰς τὸν κόσμον ἔλευσιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΠΑΡΑΦΡΑΣΙΣ.

καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν, εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΑΝΤΙΦΩΝΟΥ Γ',

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Ὁ χαρίσας εἰς ἡμᾶς τὰς κοινὰς ταύτας καὶ συμφώνους προσευχάς, ὁ καὶ εἰς δύω καὶ εἰς τρεῖς συμφωνοῦντας εἰς τὸ ὄνομά σου ὑποσχεθεὶς ὅτι θὰ πραγματοποιῇς τὰς αἰτήσεις αὐτῶν, σὺ ὁ ἴδιος καὶ τώρα ἐκπλήρωσον τὰ αἰτήματα ἡμῶν τῶν δούλων σου πρὸς τὸ συμφέρον ἡμῶν, χορηγῶν εἰς ἡμᾶς ἐν τῷ παρόντι αἰῶνι τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας, καὶ ἐν τῷ μέλλοντι τὴν αἰώνιον ζωήν.

ΕΥΧΗ ΤΗΣ ΕΙΣΟΔΟΥ[1] ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΟΥ,

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Δέσποτα Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καταστήσας ἐν οὐρανοῖς τάγματα, καὶ στρατιὰς ἀγγέλων καὶ ἀρχαγγέλων, εἰς λειτουργίαν τῆς σῆς δόξης, κάμε μετὰ τῆς εἰσόδου ἡμῶν νὰ εἰσέλθωσιν ἅγιοι ἄγγελοι, διὰ νὰ συλλειτουργήσωσι μεθ' ἡμῶν, καὶ συνδοξολογήσωσι τὴν σὴν ἀγαθότητα.

ΚΕΙΜΕΝΟΝ.

πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί,

Ὁ Διάκονος.

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΤΟΥ ΤΡΙΣΑΓΙΟΥ ΥΜΝΟΥ,[1]

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ τρισαγίῳ φωνῇ[2] ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ ἐκ τοῦ μὴ ὄντος[3] εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, ὁ κτίσας τὸν ἄνθρωπον κατ' εἰκόνα

[1] Τρισάγιος ὕμνος λέγεται τὸ "ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος ἐλέησον ἡμᾶς."

[2] Ὑπαινίττεται τὸ τοῦ Ἡσαΐου (6, 3) "Καὶ ἐκέκραγεν (τὰ "Σεραφεὶμ) ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγεν, ἅγιος, ἅγιος, "ἅγιος Κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ."

ΠΑΡΑΦΡΑΣΙΣ.

Διότι εἰς σὲ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἂς παρακαλέσωμεν τὸν Κύριον.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Διότι ἅγιος εἶσαι ὁ Θεὸς ἡμῶν, καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν, εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε,

Ὁ Διάκονος.

Καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΤΟΥ ΤΡΙΣΑΓΙΟΥ ΥΜΝΟΥ,[1]

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Ὁ Θεὸς ὁ ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος, ὁ διὰ τρισαγίου φωνῆς[2] ὑπὸ τῶν Σεραφεὶμ ἀνυμνούμενος, καὶ ὑπὸ τῶν Χερουβὶμ δοξολογούμενος, καὶ ὑπὸ πάσης ἐπουρανίου δυνάμεως προσκυνούμενος, ὁ παραγαγὼν τὰ σύμπαντα ἐκ τοῦ μὴ ὄντος[3] εἰς τὸ εἶναι, ὁ κτίσας τὸν ἄνθρω-

---

[3] Ὁ παντοδύναμος Θεὸς παρήγαγεν εἰς τὸ εἶναι τὰ σύμπαντα, ἔδωκε δηλονότι ὕπαρξιν εἰς τὰ πάντα ἐκ τοῦ μὴ ὄντος, ἐκ τοῦ μηδενός, χωρὶς νὰ συνυπάρχῃ μετ' αὐτῶν ὕλη, ἀλλ' αὐτὸς διὰ τοῦ λόγου αὐτοῦ καλέσας αὐτὰ εἰς ὕπαρξιν.

ΚΕΙΜΕΝΟΝ.

σήν, καὶ ὁμοίωσιν, καὶ παντί σου χαρίσματι κατακοσμήσας, ὁ διδοὺς αἰτοῦντι σοφίαν καὶ σύνεσιν, καὶ μὴ παρορῶν ἁμαρτάνοντα, ἀλλὰ θέμενος ἐπὶ σωτηρίᾳ μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου ἐν τῇ ὥρᾳ ταύτῃ στῆναι κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ τὴν ὀφειλομένην σοι προσκύνησιν καὶ δοξολογίαν προσάγειν· αὐτός, δέσποτα, πρόσδεξαι καὶ ἐκ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου, συγχώρησον ἡμῖν πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ἁγίασον ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα, καὶ δὸς ἡμῖν ἐν ὁσιότητι λατρεύειν σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν πρεσβείαις[2] τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων· ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΠΡΟ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ,

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Ἔλλαμψον ἐν ταῖς καρδίαις ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ τῆς σῆς θεογνωσίας ἀκήρατον φῶς,

[2] *Διὰ πρεσβειῶν δηλ. συγχώρησον.*

ΠΑΡΑΦΡΑΣΙΣ.

που κατ' εἰκόνα σου καὶ ὁμοίωσιν, καὶ καταστολίσας μὲ πᾶν χάρισμά σου, ὁ δίδων εἰς τὸν ζητοῦντα σοφίαν καὶ σύνεσιν, καὶ μὴ παραβλέπων τὸν ἁμαρτάνοντα, ἀλλὰ προσδιορίσας διὰ τὴν σωτηρίαν μετάνοιαν, ὁ καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἀναξίους δούλους σου κατὰ τὴν ὥραν ταύτην νὰ σταθῶμεν κατενώπιον τῆς δόξης τοῦ ἁγίου σου θυσιαστηρίου, καὶ νὰ σοὶ προσάγωμεν τὴν ὀφειλομένην εἰς σὲ προσκύνησιν καὶ δοξολογίαν· σὺ ὁ ἴδιος, δέσποτα, πρόσδεξαι καὶ ἐκ τοῦ στόματος ἡμῶν τῶν ἁμαρτωλῶν τὸν τρισάγιον ὕμνον, καὶ ἐπίσκεψαι ἡμᾶς μὲ τὴν χρηστότητά σου, συγχώρησον εἰς ἡμᾶς πᾶν πλημμέλημα θεληματικὸν καὶ μὴ θεληματατικόν, ἁγίασον τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα, καὶ δὸς εἰς ἡμᾶς μὲ ὁσιότητα νὰ σὲ λατρεύωμεν πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν διὰ πρεσβειῶν[2] τῆς ἁγίας θεοτόκου, καὶ πάντων τῶν ἁγίων, ὅσοι ἀπ' αἰῶνος εὐηρέστησαν εἰς σέ· διότι ἅγιος εἶσαι ὁ Θεὸς ἡμῶν, καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν, εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΠΡΟ ΤΟΥ ΕΥΑΓΓΕΛΙΟΥ,

τὴν ὁποίαν ὁ Ἱερεὺς λέγει μυστικῶς.

Λάμψον ἐντὸς τῶν καρδιῶν ἡμῶν, φιλάνθρωπε Δέσποτα, τὸ καθαρὸν φῶς τῆς σῆς θεογνωσίας,

ΚΕΙΜΕΝΟΝ.

καὶ τοὺς τῆς διανοίας ἡμῶν διάνοιξον ὀφθαλμούς, εἰς τὴν τῶν εὐαγγελικῶν σου κηρυγμάτων κατανόησιν. Ἔνθες ἡμῖν καὶ τὸν τῶν μακαρίων σου ἐντολῶν φόβον, ἵνα τὰς σαρκικὰς ἐπιθυμίας καταπατήσαντες, πνευματικὴν πολιτείαν μετέλθωμεν, πάντα πρὸς εὐαρέστησίν σου φρονοῦντες καὶ πράττοντες. Σὺ γὰρ εἶ ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ δὲ τὸ Εὐαγγέλιον, ἀποκρινομένου τοῦ Χοροῦ τό,

Κύριε ἐλέησον, τρίς,

Ὁ Διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

ΕΥΧΗ ΤΗΣ ΕΚΤΕΝΟΥΣ[1] ΙΚΕΣΙΑΣ,

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, τὴν ἐκτενῆ ταύτην ἱκεσίαν

[1] Ἐκτενοῦς, ὅ ἐστί, τῆς ἐκτενῶς, ὁλοψύχως, γενομένης.

ΠΑΡΑΦΡΑΣΙΣ.

καὶ διάνοιξον τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἡμῶν, ὅπως κατανοήσωμεν τὰ εὐαγγελικά σου κηρύγματα. Θέσον ἐντὸς ἡμῶν τὸν φόβον τῶν μακαρίων σου ἐντολῶν, ἵνα καταπατήσαντες τὰς σαρκικὰς ἐπιθυμίας, ζήσωμεν πνευματικῶς, φρονοῦντες καὶ πράττοντες πάντα πρὸς εὐαρέστησίν σου. Διότι σὺ εἶσαι ὁ φωτισμὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν μετὰ τοῦ ἀνάρχου σου Πατρός, καὶ τοῦ παναγίου, καὶ ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ δὲ τὸ Εὐαγγέλιον, ἐν ᾧ ἀποκρίνεται ὁ Χορὸς τρὶς τό,

Κύριε ἐλέησον,

Ὁ Διάκονος λέγει.

Ἂς εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν ἂς εἴπωμεν.

Κύριε Παντοκράτορ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, σὲ παρακαλοῦμεν, ἐπάκουσον καὶ ἐλέησον.

Ἐλέησον ἡμᾶς ὁ Θεός, διὰ τὸ μέγα ἔλεός σου, σὲ παρακαλοῦμεν, ἐπάκουσον καὶ ἐλέησον.

ΕΥΧΗ ΤΗΣ ΕΚΤΕΝΟΥΣ[1] ΙΚΕΣΙΑΣ,

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, πρόσδεξαι παρὰ τῶν σῶν

πρόσδεξαι παρὰ τῶν σῶν δούλων, καὶ ἐλέησον ἡμᾶς κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμούς σου κατάπεμψον ἐφ' ἡμᾶς, καὶ ἐπὶ πάντα τὸν λαόν σου, τὸν ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Διάκονος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων, καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας μονῆς[1] ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας, συγχωρήσεως, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς[2] ταύτης.

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ

---

[1] Ἐκτὸς μοναστηρίου λέγεται "τῆς ἁγίας ἐκκλησίας," εἴτε "τοῦ ἱεροῦ ναοῦ τούτου."

ΠΑΡΑΦΡΑΣΙΣ.

δούλων τὴν ὁλόψυχον ταύτην ἱκεσίαν, καὶ ἐλέησον ἡμᾶς διὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ τοὺς οἰκτιρμοὺς κατάπεμψον εἰς ἡμᾶς, καὶ πάντα τὸν λαόν σου, τὸν περιμένοντα τὸ παρὰ σοῦ πλούσιον ἔλεος.

Ὁ Διάκονος.

Ἔτι παρακαλοῦμεν ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Ἔτι παρακαλοῦμεν ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος).

Ἔτι παρακαλοῦμεν ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι παρακαλοῦμεν ὑπὲρ τῶν μακαρίων, καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας μονῆς[1] ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνταῦθα κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Ἔτι παρακαλοῦμεν ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγιείας, σωτηρίας συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν ἀδελφῶν τῆς ἁγίας μονῆς[2] ταύτης.

Ἔτι παρακαλοῦμεν ὑπὲρ τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων, καὶ ὑπὲρ τοῦ

---

[2] Ἐκτὸς μοναστηρίου λέγεται "τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν"

ΚΕΙΜΕΝΟΝ.

περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Εὔξασθε οἱ κατηχούμενοι [3] *τῷ Κυρίῳ.*

Οἱ πιστοὶ ὑπὲρ τῶν κατηχουμένων δεηθῶμεν,

ἵνα ὁ Κύριος ἐλεήσῃ αὐτούς,
κατηχήσῃ αὐτοὺς τῷ λόγῳ τῆς ἀληθείας,
ἀποκαλύψῃ αὐτοῖς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης,
ἑνώσῃ αὐτοὺς τῇ ἁγίᾳ αὐτοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ.

Σῶσον, ἐλέησον, ἀντιλαβοῦ, καὶ διαφύλαξον αὐτούς, ὁ Θεός, τῇ σῇ χάριτι.

---

[3] *Κατηχούμενοι, δηλ. διδασκόμενοι τὰ δόγματα τῆς χριστιανικῆς πίστεως, ἐλέγοντο οἱ νεωστὶ ἀφέντες τὴν τῶν ἐθνικῶν θρησκείαν, καὶ προσελθόντες εἰς τοὺς κόλπους τῆς καθολικῆς ἐκκλησίας, ὅπως λάβωσι τὸ βάπτισμα. Διῃροῦντο δὲ εἰς δύο τάξεις, εἰς τὴν τῶν τελειοτέρων, καὶ εἰς τὴν τῶν ἄρτι προσελθόντων· Τελειότεροι ἦσαν οἱ ἐκδεχθέντες τὰς ἀληθείας τῆς πίστεως, μὴ βαπτισθέντες ὅμως ἀκόμη. Οὗτοι παρέμενον μέχρι τῆς τῶν κατηχουμένων εὐχῆς, καὶ ἐν ᾧ αὕτη ἀνεγινώσκετο μυστικῶς, ἔκλινον τὸ γόνυ, καὶ μετὰ τὴν ἐκφώνησιν*

ΠΑΡΑΦΡΑΣΙΣ.

περιεστῶτος λαοῦ, τοῦ προσμένοντος τὸ παρὰ σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Διότι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν, εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Προσευχήθητε οἱ κατηχούμενοι[3] *πρὸς τὸν Κύριον.*

Οἱ πιστοὶ ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῶν κατηχουμένων,
ἵνα ὁ Κύριος *ἐλεήσῃ αὐτούς,*
κατηχήσῃ αὐτοὺς μὲ τὸν λόγον τῆς ἀληθείας,
ἀποκαλύψῃ εἰς αὐτοὺς τὸ εὐαγγέλιον τῆς δικαιοσύνης,
ἑνώσῃ αὐτοὺς μὲ τὴν ἁγίαν αὐτοῦ καθολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν.

Θεέ, σῶσον, ἐλέησον, βοήθησον, καὶ διαφύλαξον αὐτοὺς διὰ τῆς σῆς χάριτος.

τοῦ "ὅσοι οἱ κατηχούμενοι προέλθετε, ἤτοι ἐξέλθετε," ἐξήρχοντο. Οἱ δὲ ἄρτι προσελθόντες ἦσαν ἡ ἀτελεστέρα τάξις τῶν κατηχουμένων· οὗτοι ἐδιδάσκοντο ἀκόμη τὰ δόγματα τῆς χριστιανικῆς πίστεως, καὶ μετὰ τὴν ἀκρόασιν τῶν θείων εὐαγγελίων ἐξήρχοντο. Σημειωτέον προσέτι, ὅτι ἡ ἀνάγνωσις τοῦ μέρους τῆς ἱερᾶς λειτουργίας, τοῦ ἀφορῶντος τοὺς κατηχουμένους,.θὰ ἦτο σήμερον ὡς ἐκ τῆς ἐλλείψεως κατηχουμένων περιττή, ἂν προσηκόντως ἐξετιμᾶτο βεβαίως ἡ γεραρὰ ἀρχαιότης.

ΚΕΙΜΕΝΟΝ.

Οἱ κατηχούμενοι τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

ΕΥΧΗ ΚΑΤΗΧΟΥΜΕΝΩΝ,

πρὸ τοῦ ἀπλωθῆναι τὸ εἰλητόν,[1] ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν, ὁ τὴν σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων ἐξαποστείλας, τὸν μονογενῆ σου υἱόν, καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, τοὺς ὑποκεκλικότας σοι τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ εὐθέτῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας.[2] Ἕνωσον αὐτοὺς τῇ ἁγίᾳ σου καθολικῇ, καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ συγκαταρίθμησον αὐτοὺς ἐν τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἵνα καὶ αὐτοὶ σὺν ἡμῖν δοξάζωσι τὸ πάντιμον, καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

[1] Εἰλητόν, δηλ. τυλικτόν, ὅπερ καὶ θρόνος ὀνομάζεται, εἶναι τὸ συνήθως λεγόμενον ἀντιμήνσιον (antimensium, ὡσὰν εἴποις ἀντιτραπέζιον), τὸ δὲ ἀντιμήνσιον ἐπέχει τόπον καθιερωμένων ἁγίων τραπεζῶν.

ΠΑΡΑΦΡΑΣΙΣ.

Οἱ κατηχούμενοι κλίνατε τὰς κεφαλὰς ὑμῶν εἰς τὸν Κύριον.

ΕΥΧΗ ΚΑΤΗΧΟΥΜΕΝΩΝ,

πρὸ τοῦ νὰ ἁπλωθῇ τὸ εἰλητὸν,[1] τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐπιβλέπων, ὁ ἐξαποστείλας εἰς τὸ γένος τῶν ἀνθρώπων τὴν σωτηρίαν, τὸν μονογενῆ σου υἱόν, καὶ Θεόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐπίβλεψον ἐπὶ τοὺς δούλους σου τοὺς κατηχουμένους, οἵτινες ὑπέκλιναν εἰς σὲ τὸν ἑαυτῶν αὐχένα, καὶ καταξίωσον αὐτοὺς ἐν καιρῷ ἁρμοδίῳ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, τῆς ἀφέσεως τῶν ἁμαρτιῶν καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας.[2] Ἕνωσον αὐτοὺς μετὰ τῆς ἁγίας σου καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ συγκαταρίθμησον αὐτοὺς ἐν τῇ ἐκλεκτῇ σου ποίμνῃ.

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Ἵνα καὶ αὐτοὶ μεθ' ἡμῶν δοξάζωσι τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

[2] *Λουτρὸς παλιγγενεσίας καὶ ἔνδυμα ἀφθαρσίας εἶναι τὸ βάπτισμα, δι' οὗ ἡ ἄφεσις τῶν ἁμαρτιῶν.*

ΚΕΙΜΕΝΟΝ.

Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ Ἱερεὺς τὸ Εἰλητὸν καὶ κατὰ τὸ σύνηθες ἐξαπλώνει.

Ὁ Διάκονος.

Ὅσοι κατηχούμενοι προέλθετε· οἱ κατηχούμενοι προέλθετε· ὅσοι κατηχούμενοι προέλθετε. Μήτις τῶν κατηχουμένων. Ὅσοι πιστοί.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΠΙΣΤΩΝ Α',

μετὰ τὸ ἁπλωθῆναι τὸ Εἰλητόν, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τῷ καταξιώσαντι ἡμᾶς παραστῆναι καὶ νῦν τῷ ἁγίῳ σου θυσιαστηρίῳ, καὶ προσπεσεῖν τοῖς οἰκτιρμοῖς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Πρόσδεξαι ὁ Θεός, τὴν δέησιν ἡμῶν· ποίησον ἡμᾶς ἀξίους γενέσθαι τοῦ προσφέρειν σοι δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας ἀναιμάκτους, ὑπὲρ παντὸς τοῦ λαοῦ σου. Καὶ ἱκάνωσον ἡμᾶς, οὓς ἔθου εἰς τὴν διακονίαν σου ταύτην, ἐν τῇ δυνάμει τοῦ πνεύματός σου τοῦ ἁγίου ἀκαταγνώστως καὶ ἀπροσκόπτως, ἐν καθαρῷ τῷ μαρτυρίῳ τῆς συνειδήσεως ἡμῶν, ἐπικαλεῖσθαί σε ἐν παντὶ καιρῷ καὶ τόπῳ, ἵνα εἰσακούων ἡμῶν, ἵλεως ἡμῖν εἴης ἐν τῷ πλήθει τῆς σῆς ἀγαθότητος.

ΠΑΡΑΦΡΑΣΙΣ.

Μετὰ τὴν ἐκφώνησιν λαμβάνει ὁ Ἱερεὺς τὸ Εἰλητόν, καὶ κατὰ τὸ σύνηθες ἐξαπλώνει.

Ὁ Διάκονος.

Ὅσοι εἶσθε κατηχούμενοι ἐξέλθετε· οἱ κατηχούμενοι ἐξέλθετε· ὅσοι εἶσθε κατηχούμενοι ἐξέλθετε. Κανεὶς τῶν κατηχουμένων ἂς μὴ μείνῃ. Ὅσοι εἶσθε πιστοί.

Ἔτι, καὶ ἔτι, ἐν εἰρήνῃ ἂς παρακαλέσωμεν τὸν Κύριον.

ΕΥΧΗ ΠΙΣΤΩΝ Α',

ἀφοῦ ἐξαπλωθῇ τὸ Εἰλητόν, τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς τῶν δυνάμεων εὐχαριστοῦμεν εἰς σέ, τὸν καταξιώσαντα ἡμᾶς καὶ τώρα νὰ παραστῶμεν εἰς τὸ ἅγιόν σου θυσιαστήριον, καὶ νὰ προσπέσωμεν εἰς τοὺς οἰκτιρμούς σου ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ ὑπὲρ τῶν τοῦ λαοῦ ἐξ ἀγνοίας πλημμελημάτων. Πρόσδεξαι, Θεέ, τὴν δέησιν ἡμῶν· κάμε νὰ γείνωμεν ἄξιοι νὰ σοὶ προσφέρωμεν δεήσεις, καὶ ἱκεσίας, καὶ θυσίας χωρὶς αἵματος, ὑπὲρ παντὸς τοῦ λαοῦ σου. Καὶ ἡμᾶς, τοὺς ὁποίους ὥρισας εἰς τὴν διακονίαν σου ταύτην, διὰ τῆς δυνάμεως τοῦ πνεύματός σου τοῦ ἁγίου κάμε ἱκανοὺς νὰ σὲ ἐπικαλώμεθα ἀκατακρίτως καὶ ἀπροσκόπτως μετὰ καθαρᾶς μαρτυρίας τῆς συνειδήσεως ἡμῶν εἰς πάντα καιρὸν καὶ τόπον, ἵνα εἰσακούων ἡμῶν ἦσαι ἵλεως πρὸς ἡμᾶς διὰ τὸ πλῆθος τῆς σῆς ἀγαθότητος.

ΚΕΙΜΕΝΟΝ.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι. Σοφίᾳ.[1]

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΠΙΣΤΩΝ Β′,

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Πάλιν καὶ πολλάκις σοὶ προσπίπτομεν, καὶ σοῦ δεόμεθα, ἀγαθέ, καὶ φιλάνθρωπε, ὅπως ἐπιβλέψας ἐπὶ τὴν δέησιν ἡμῶν, καθαρίσῃς ἡμῶν τὰς ψυχὰς καὶ τὰ σώματα ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ δῴης ἡμῖν ἀνένοχον καὶ ἀκατάκριτον τὴν παράστασιν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι δέ, ὁ Θεός,

---

[1] Αἱ λέξεις καὶ φράσεις "Σοφίᾳ" (οὐχὶ Σοφία) "ἐν Σοφίᾳ," "στῶμεν καλῶς," "στῶμεν μετὰ φόβου," καὶ "ὀρθοί," εἶναι συνώνυμοι. Σοφίᾳ καὶ ἐν σοφίᾳ = μετὰ σοφίας, δηλ. μετὰ φόβου Θεοῦ καὶ κατανύξεως, καὶ νοεῖται τὸ παραλειπόμενον πρόσχωμεν = στῶμεν καλῶς, στῶμεν μετὰ φόβου. Ἡ τελεία ἔκφρασις ἐκφωνεῖται πρὸ τοῦ Πιστεύω. Τὰς θύρας, τὰς θύρας· "ἐν σοφίᾳ πρόσχωμεν." Κατὰ τὰς

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Διάκονος.

Βοήθησον ὦ Θεέ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος. Σοφίᾳ.[1]

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Διότι εἰς σὲ πρέπει πᾶσα δόξα, τιμή, καὶ προσκύνησις εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ἔτι καὶ ἔτι, μετ' εἰρήνης ἂς παρακαλέσωμεν τὸν Κύριον.

ΕΥΧΗ ΠΙΣΤΩΝ Β'.,

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Πάλιν καὶ πολλάκις εἰς σὲ προσπίπτομεν, καὶ σὲ παρακαλοῦμεν, ἀγαθέ, καὶ φιλάνθρωπε, ἵνα ἐπιβλέψας εἰς τὴν δέησιν ἡμῶν, καθαρίσῃς τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα ἀπό παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, καὶ μᾶς κάμῃς ἀνενόχως καὶ ἀκατακρίτως νὰ παρασταθῶμεν ἔμπροσθεν τοῦ ἁγίου σου θυσιαστηρίου. Χάρισαι

ἁγίας Γραφὰς ἀρχὴ σοφίας καὶ αὐτὴ ἡ σοφία εἶναι ὁ φόβος τοῦ Κυρίου, ἡ θεοσέβεια· Ἀρχὴ σοφίας φόβος Κυρίου· (Παροιμ. 1, 7, 9, 10. Ψαλμ. 110, 9.). Φόβος Κυρίου παιδεία καὶ σοφία. (Παρ. 15, 33.). Ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία, τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστιν ἐπιστήμη· (Ἰωβ. 28.)

ΚΕΙΜΕΝΟΝ.

καὶ τοῖς συνευχομένοις ἡμῖν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς. Δὸς αὐτοῖς πάντοτε μετὰ φόβου, καὶ ἀγάπης, λατρεύειν σοι, ἀνενόχως, καὶ ἀκατακρίτως μετέχειν τῶν ἁγίων σου μυστηρίων, καὶ τῆς ἐπουρανίου σου βασιλείας ἀξιωθῆναι.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι. Σοφίᾳ.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι, σοὶ δόξαν ἀναπέμπωμεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ ΤΟΥ ΧΕΡΟΥΒΙΚΟΥ[1] ΑΔΟΜΕΝΟΥ,

ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς ἐπιθυμίαις καὶ ἡδοναῖς προσέρχεσθαι ἢ προσεγγίζειν, ἢ λειτουργεῖν σοι, βασιλεῦ τῆς δόξης· τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερὸν καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν· ἀλλ' ὅμως διὰ τὴν ἄφατον καὶ ἀμέτρητόν σου φιλανθρω-

---

[1] Χερουβικόν, εἴτε Χερουβικὸς ὕμνος εἶναι τὸ "οἱ τὰ Χερου-" βεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ τριάδι, κτλ."

ΠΑΡΑΦΡΑΣΙΣ.

σέ, Θεέ, καὶ εἰς τοὺς συνευχομένους μεθ' ἡμῶν προκοπὴν βίου, καὶ πίστεως, καὶ συνέσεως πνευματικῆς. Δὸς εἰς αὐτοὺς νὰ σὲ λατρεύωσι πάντοτε μετὰ φοβου, καὶ ἀγάπης, νὰ μετέχωσι τῶν ἁγίων σου μυστηρίων ἀνενόχως, καὶ ἀκατακρίτως, καὶ νὰ ἀξιωθῶσι τῆς ἐπουρανίου σου βασιλείας.

Ὁ Διάκονος.

Βοήθησον, ὦ Θεέ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος. Σοφίᾳ.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Ἵνα φυλαττόμενοι πάντοτε ὑπὸ τῆς δυνάμεώς σου, ἀναπέμπωμεν δόξαν εἰς σέ, εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΕΥΧΗ, ΟΤΑΝ ΨΑΛΛΗΤΑΙ ΤΟ ΧΕΡΟΥΒΙΚΟΝ,[1]

την ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Οὐδεὶς ἐκ τῶν συνδεδεμένων μὲ τὰς σαρκικὰς ἐπιθυμίας καὶ ἡδονὰς εἶναι ἄξιος νὰ προσέρχηται, ἢ νὰ προσεγγίζῃ, ἢ νὰ λειτουργῇ εἰς σέ, βασιλεῦ τῆς δόξης· διότι τὸ ὑπηρετεῖν σε εἶναι μέγα καὶ φοβερὸν καὶ εἰς αὐτὰς τὰς ἐπουρανίους δυνάμεις· ἀλλ' ὅμως διὰ τὴν ἀνέκφραστον καὶ

ΚΕΙΜΕΝΟΝ.

πίαν, ἀτρέπτως καὶ ἀναλλοιώτως γέγονας ἄνθρωπος, καὶ ἀρχιερεὺς ἡμῶν ἐχρηματίσας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν ὡς δεσπότης τῶν ἁπάντων· σὺ γὰρ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, δεσπόζεις τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, ὁ ἐπὶ θρόνου Χερουβικοῦ[1] ἐποχούμενος, ὁ τῶν Σεραφεὶμ κύριος, καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθόν, καὶ εὐήκοον, ἐπίβλεψον ἐπ' ἐμὲ τὸν ἁμαρτωλόν, καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισόν μου τὴν ψυχὴν καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς. Καὶ ἱκάνωσόν με τῇ δυνάμει τοῦ ἁγίου σου πνεύματος, ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ, καὶ ἱερουργῆσαι τὸ ἅγιον καὶ ἄχραντόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. Σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα, καὶ δέομαί σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου. Ἀλλ' ἀξίωσον προσενεχθῆναί σοι ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Σὺ γὰρ εἶ ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου

[1] Ὅρα Ἰεζεκιὴλ 1, καὶ 10 κεφ., ἐν οἷς περιγράφεται ὁ Χερουβικὸς θρόνος.

ΠΑΡΑΦΡΑΣΙΣ.

ἀμέτρητόν σου φιλανθρωπίαν, χωρὶς νὰ ὑπομείνῃς μεταβολὴν καὶ ἀλλοίωσιν, ἔγεινας ἄνθρωπος καὶ ἐχρημάτισας ἀρχιερεὺς· ἡμῶν, καὶ ὡς δεσπότης τῶν ἁπάντων παρέδωκας εἰς ἡμᾶς τὴν ἱερουργίαν τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας· διότε σὺ μόνος, Κύριε ὁ Θεὸς ἡμῶν, εἶσαι δεσπότης τῶν ἐπουρανίων καὶ τῶν ἐπιγείων, σὺ ὁ καθήμενος καὶ φερόμενος ἐπὶ θρόνου Χερουβικοῦ,[1] ὁ κύριος τῶν Σεραφείμ, καὶ βασιλεὺς τοῦ Ἰσραήλ, ὁ μόνος ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος. Καὶ λοιπὸν σὲ παρακαλῶ τὸν μόνον ἀγαθόν, καὶ προθύμως εἰσακούοντα, ἐπίβλεψον εἰς ἐμὲ τὸν ἁμαρτωλόν, καὶ ἀχρεῖον δοῦλόν σου, καὶ καθάρισον τὴν ψυχήν μου καὶ τὴν καρδίαν ἀπὸ συνειδήσεως πονηρᾶς. Καὶ διὰ τῆς δυνάμεως τοῦ ἁγίου σου πνεύματος κατάστησόν με ἱκανόν, ἵνα, ἐνδεδυμένος τὴν χάριν τῆς ἱερατείας, παρασταθῶ ἔμπροσθεν τῆς ἁγίας σου ταύτης τραπέζης, καὶ ἱερουργήσω τὸ ἅγιον καὶ καθαρώτατόν σου σῶμα, καὶ τὸ τίμιον αἷμα. Διότι εἰς σὲ ποσέρχομαι κλίνας τὸν αὐχένα μου, καὶ σὲ παρακαλῶ, μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μηδὲ ὡς ἄχρηστον ἀποβάλῃς με ἐκ τῶν δούλων σου. Ἀλλ' ἀξίωσον νὰ προσενεχθῶσιν εἰς σὲ ὑπ' ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου τὰ δῶρα ταῦτα. Διότι σὺ εἶσαι ὁ προσφέρων, καὶ προσφερόμενος, καὶ προσδεχόμενος, καὶ διαδιδόμενος, Χριστὲ ὁ Θεὸς ἡμῶν. Καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν καὶ εἰς τὸν μὴ ἔχοντα ἀρχὴν Πατέρα σου, καὶ εἰς τὸ

ΚΕΙΜΕΝΟΝ.

Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὸν Χερουβικὸν ὕμνον λέγει ὁ Διάκονος.

Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ,

μετὰ τὴν ἐν τῇ ἁγίᾳ τραπέζῃ τῶν θείων δώρων ἀπόθεσιν, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε ὁ Θεὸς ὁ Παντοκράτωρ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε ἐν ὅλῃ καρδίᾳ, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὴν δέησιν, καὶ προσάγαγε τῷ ἁγίῳ σου θυσιαστηρίῳ. Καὶ ἱκάνωσον ἡμᾶς προσενεγκεῖν σοι δῶρά τε καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Καταξίωσον ἡμᾶς εὑρεῖν χάριν ἐνώπιόν σου, τοῦ γενέσθαι σοι εὐπρόσδεκτον τὴν θυσίαν ἡμῶν, καὶ ἐπισκηνῶσαι τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν ἐφ' ἡμᾶς,

ΠΑΡΑΦΡΑΣΙΣ.

πανάγιον, καὶ ἀγαθόν, καὶ ζωοποιόν σου Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τὸν Χερουβικὸν ὕμνον ὁ Διάκονος λέγει.

Ἂς ἐκτελέσωμεν τὴν δέησιν ἡμῶν πρὸς τὸν Κύριον.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων.

Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ ὑπὲρ τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσερχομένων (καὶ προσευχομένων) ἐν αὐτῷ.

ΕΥΧΗ ΤΗΣ ΠΡΟΣΚΟΜΙΔΗΣ,

μετὰ τὴν ἀπόθεσιν τῶν θείων δώρων ἐπὶ τῆς ἁγίας τραπέζης, τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Κύριε Θεὲ Παντοκράτορ, ὁ μόνος ἅγιος, ὁ δεχόμενος θυσίαν αἰνέσεως παρὰ τῶν ἐπικαλουμένων σε μεθ' ὅλης καρδίας, πρόσδεξαι τὴν δέησιν καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ προσάγαγε ἔμπροσθεν τοῦ ἁγίου σου θυσιαστηρίου. Καὶ ποίησον ἡμᾶς ἱκανοὺς νὰ προσενέγκωμεν εἰς σὲ καὶ δῶρα καὶ θυσίας πνευματικὰς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων, καὶ ὑπὲρ τῶν τοῦ λαοῦ ἐξ ἀγνοίας πλημμελημάτων. Καταξίωσον ἡμᾶς νὰ εὕρωμεν ἐνώπιόν σου χάριν τοῦ νὰ σοὶ γείνῃ εὐπρόσδεκτος ἡ θυσία ἡμῶν, καὶ νὰ

ΚΕΙΜΕΝΟΝ.

καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα, καὶ ἐπὶ πάντα τὸν λαόν σου.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ, καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν, τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τῆς παναγίας, ἀχράντου καὶ ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ, καὶ

ΠΑΡΑΦΡΑΣΙΣ.

κατέλθῃ τὸ πνεῦμα τῆς χάριτός σου τὸ ἀγαθὸν εἰς ἡμᾶς, καὶ εἰς τὰ προκείμενα δῶρα ταῦτα, καὶ εἰς πάντα τὸν λαόν σου.

Ὁ Διάκονος.

Βοήθησον, ὦ Θεέ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος.

Ἂς ζητήσωμεν παρὰ τοῦ Κυρίου πᾶσαν τὴν ἡμέραν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον.

Ἂς ζητήσωμεν παρὰ τοῦ Κυρίου ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἂς ζητήσωμεν παρὰ τοῦ Κυρίου, ἵνα διέλθωμεν τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν μετ' εἰρήνης καὶ μετανοίας.

Ἂς ζητήσωμεν, ἵνα τὰ τέλη τῆς ζωῆς ἡμῶν ἀποβῶσι χριστιανά, χωρὶς πόνων, χωρὶς αἰσχύνης, καὶ εἰρηνικά, καὶ ἵνα καλῶς ἀπολογηθῶμεν ἔμπροσθεν τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ.

Ἀφ' οὗ μνημονεύσωμεν τὴν παναγίαν, καθαρωτάτην, ὑπερευλογημένην, ἔνδοξον δέσποιναν ἡμῶν θεοτόκον, καὶ ἀειπαρθένον Μαρίαν, καὶ πάντας τοὺς ἁγίους, ἂς παρακαταθέσωμεν εἰς Χριστὸν τὸν Θεὸν ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, μετὰ τοῦ ὁποίου, καὶ μετὰ τοῦ παναγίου, καὶ

ΚΕΙΜΕΝΟΝ.

ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς.

Εἰρήνη πᾶσι.

Ὁ Διάκονος.

Ἀγαπήσωμεν ἀλλήλους, ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.[1]

Ὁ Διάκονος.

Τὰς θύρας, τὰς θύρας,[2] *ἐν σοφίᾳ πρόσχωμεν.*[3]

Ὁ Λαὸς τὸ

Πιστεύω.[4]

Ὁ Διάκονος.

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου, Πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν[5] *ἐν εἰρήνῃ προσφέρειν.*

---

[1] Δηλ. πατέρα, υἱόν, καὶ ἅγιον πνεῦμα, τριάδα ὁμοούσιον καὶ ἀχώριστον,

[2] Τὸ "τὰς θύρας, τὰς θύρας," εἶναι παρακέλευσις πρὸς τοὺς πυλωροὺς νὰ κλείσωσι τὰς θύρας, διὰ νὰ μὴ εἰσέλθῃ τις τῶν κατηχουμένων ἢ τῶν ἀπίστων,

[3] Τὸ "ἐν σοφίᾳ (= μετὰ φοβου θεοῦ καὶ κατανύξεως) πρόσχωμεν" ἀποτείνεται πρὸς τοὺς πιστούς, ἵνα προσέχωσιν εἰς τὰ λόγια τοῦ συμβόλου τῆς πίστεως, καὶ εἶναι ταὐτοδύναμον τῷ "ὀρθοί," ὅπερ ἐκφωνεῖται πρὸ τῆς ἀναγνώσεως τοῦ ἱεροῦ εὐαγγελίου, (Σοφίᾳ, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου εὐαγγελίου)· ὀρθοὶ δηλ. τὸν νοῦν = μετ' ἀνατάσεως καὶ προ-

ΠΑΡΑΦΡΑΣΙΣ.

ἀγαθοῦ, καὶ ζωοποιοῦ σου Πνεύματος εἶσαι εὐλογητός, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς.

Εἰρήνη εἰς πάντας.

Ὁ Διάκονος.

Ἂς ἀγαπήσωμεν ἀλλήλους, ἵνα μεθ' ὁμονοίας ὁμολογήσωμεν.[1]

Ὁ Διάκονος.

Τὰς θύρας, τὰς θύρας[2] *μετὰ σοφίας ἂς προσέξωμεν.*[3]

Ὁ Λαὸς λέγει τὸ

Πιστεύω.[4]

Ὁ Διάκονος.

Ἂς σταθῶμεν καλῶς, ἂς σταθῶμεν μετὰ φόβου. Ἂς προσέξωμεν νὰ προσφέρωμεν μετ' εἰρήνης τὴν ἁγίαν ἀναφοράν.[5]

σοχῆς τοῦ νοός = πρόσχωμεν, Ἡ δὲ γραφὴ "σοφία ὀρθή" μοὶ φαίνεται ἐσφαλμένη.

[4] Ὅτε λέγεται τὸ Πιστεύω, ὁ ἱερεὺς λαμβάνει τὸν ἀέρα, καὶ τὸν σείει ἐπάνω τῶν ἁγίων δώρων. Τοῦτο δὲ ἐμφαίνει τὸν μέγαν σεισμόν, τὸν γενόμενον ἐπὶ τῆς ἀναστάσεως τοῦ Κυρίου, ὅτε ἄγγελος καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον (τὸν εἰκονιζόμενον διὰ τοῦ ἀέρος) ἀπὸ τὰς θύρας. Ματθ. 28, 2.

[5] Δηλ. τὰ τίμια δῶρα, ἅτινα μεταβληθέντα εἰς σῶμα καὶ αἷμα τοῦ Κυρίου, προσφέρονται ὡς ἀναίμακτος θυσία.

ΚΕΙΜΕΝΟΝ.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ἡμῶν.

Ἄνω σχῶμεν τὰς καρδίας.
Εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ὁ Ἱερεὺς μυστικῶς.

Ἄξιον, καὶ δίκαιον σὲ ὑμνεῖν, σὲ εὐλογεῖν, σὲ αἰνεῖν, σοὶ εὐχαριστεῖν, σὲ προσκυνεῖν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· σὺ γὰρ εἶ Θεὸς ἀνέκφραστος, ἀπερινόητος, ἀόρατος, ἀκατάληπτος, ἀεὶ ὤν, ὡσαύτως ὤν, σὺ καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι ἡμᾶς παρήγαγες, καὶ παραπεσόντας ἀνέστησας πάλιν, καὶ οὐκ ἀπέστης πάντα ποιῶν, ἕως ἡμᾶς εἰς τὸν οὐρανὸν ἀνήγαγες, καὶ τὴν βασιλείαν σου ἐχαρίσω τὴν μέλλουσαν. Ὑπὲρ τούτων ἁπάντων εὐχαριστοῦμέν σοι, καὶ τῷ μονογενεῖ σου υἱῷ, καὶ τῷ πνεύματί σου τῷ ἁγίῳ, ὑπὲρ πάντων ὧν ἴσμεν, καὶ ὧν οὐκ ἴσμεν, τῶν φανερῶν καὶ ἀφανῶν εὐεργεσιῶν, τῶν εἰς ἡμᾶς γεγενημένων. Εὐχαριστοῦμέν σοι καὶ ὑπὲρ τῆς λειτουργίας ταύτης, ἣν ἐκ τῶν χειρῶν ἡμῶν δέξασθαι κατηξίωσας, καίτοι σοι παρεστήκασι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες ἀγγέλων, τὰ Χερουβίμ, καὶ τὰ Σεραφείμ, ἑξαπτέρυγα, πολυόμματα, μετάρσια, πτερωτά,

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος νὰ ἦναι μετὰ πάντων ἡμῶν.

Ἄνω ἂς ἔχωμεν τὰς καρδίας.

Ἂς εὐχαριστήσωμεν εἰς τὸν Κύριον.

Ὁ Ἱερεὺς μυστικῶς.

Ἄξιον καὶ δίκαιον εἶναι σὲ νὰ ὑμνῶμεν, σὲ νὰ εὐλογῶμεν, σὲ νὰ αἰνῶμεν, εἰς σὲ νὰ εὐχαριστῶμεν, σὲ νὰ προσκυνῶμεν ἐν παντὶ τόπῳ τῆς δεσποτείας σου· διότι σὺ εἶσαι Θεὸς ἀνέκφραστος, ἀκατανόητος, ἀόρατος, ἀκατάληπτος, πάντοτε ὑπάρχων, μὴ μεταβαλλόμενος, σὺ καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον. Σὺ ἐκ τοῦ μὴ ὄντος παρήγαγες ἡμᾶς εἰς τὸ εἶναι, καὶ ἀφ' οὗ παρεπέσαμεν ἁμαρτήσαντες πάλιν μᾶς ἀνέστησας, καὶ δὲν ἔπαυσας ἀπὸ τοῦ νὰ κάμῃς πάντα, ἕως οὗ μᾶς ἀνεβίβασας εἰς τὸν Οὐρανόν, καὶ ἐχάρισας τὴν βασιλείαν σου τὴν μέλλουσαν. Διὰ ταῦτα ἅπαντα εὐχαριστοῦμεν εἰς σέ, καὶ τὸν μονογενῆ σου υἱόν, καὶ τὸ πνεῦμά σου τὰ ἅγιον, διὰ πάντα ὅσα γινώσκομεν, τὰς φανερὰς καὶ ἀφανεῖς εὐεργεσίας, τὰς γενομένας εἰς ἡμᾶς. Εὐχαριστοῦμεν εἰς σὲ καὶ διὰ τὴν λειτουργίαν ταύτην, τὴν ὁποίαν κατηξίωσας νὰ δεχθῇς ἐκ τῶν χειρῶν ἡμῶν, ἂν καὶ σοὶ παραστέκωσι χιλιάδες ἀρχαγγέλων, καὶ μυριάδες

ΚΕΙΜΕΝΟΝ.

Ὁ Ἱερεὺς ἐκφώνως.

Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα,[1] βοῶντα, κεκραγότα, καὶ λέγοντα.[2]

Ὁ Ἱερεὺς μυστικῶς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν, καὶ λέγομεν· ἅγιος εἶ καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ὃς τὸν κόσμον σου οὕτως ἠγάπησας, ὥστε τὸν μονογενῆ σου υἱὸν δοῦναι, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὃς ἐλθών, καὶ πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν[3] πληρώσας, τῇ νυκτί, ᾗ παρεδίδοτο, μᾶλλον δὲ ἑαυτὸν παρεδίδου ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς, λαβὼν ἄρτον ἐν ταῖς ἁγίαις αὐτοῦ, καὶ ἀχράντοις, καὶ ἀμωμήτοις χερσίν, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε τοῖς ἁγίοις αὐτοῦ μαθηταῖς, καὶ ἀποστόλοις, εἰπών,

---

[1] Δηλ τὰ Χερουβὶμ καὶ τὰ Σεραφεὶμ ᾄδουσι, βοῶσι, κράζουσι, καὶ λέγουσι τὸν ἐπινίκιον ὕμνον "ἅγιος, ἅγιος, ἅγιος, Κύριος "Σαβαώθ, πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης συυ." (Ἡσ. 6, 3 Ἀποκαλ. 4, 8.)

[2] Αἱ τέσσαρες αὗται λέξεις, κατὰ τὴν γνώμην τινῶν, ὑπεκφαίνουσι τὰ ὑπὸ τοῦ Ἰεζεκιὴλ (1, 10) ὁραθέντα τέσσαρα ζῶα,

ΠΑΡΑΦΡΑΣΙΣ.

ἀγγέλων, τὰ Χερουβίμ, καὶ Σεραφείμ, ἑξαπτέρυγα, πολυόματα, ὑψηλὰ πετόμενα, πτερωτά,

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Ἄδοντα,[1] *βοῶντα, κράζοντα, καὶ λέγοντα*[2] *τὸν ἐπινίκιον ὕμνον.*

Ὁ Ἱερεὺς μυστικῶς.

Μετὰ τούτων καὶ ἡμεῖς τῶν μακαρίων δυνάμεων, Δέσποτα φιλάνθρωπε, βοῶμεν καὶ λέγομεν· ἅγιος εἶσαι, καὶ πανάγιος, σὺ καὶ ὁ μονογενής σου υἱός, καὶ τὸ πνεῦμά σου τὸ ἅγιον· ἅγιος εἶσαι, καὶ πανάγιος, καὶ μεγαλοπρεπὴς ἡ δόξα σου· ὁ ὁποῖος τόσον ἠγάπησας τὸν κόσμον σου, ὥστε νὰ δώσῃς τὸν μονογενῆ σου υἱόν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ χαθῇ, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· ὁ ὁποῖος ἐλθὼν καὶ ἐκτελέσας πᾶσαν τὴν ὑπὲρ ἡμῶν οἰκονομίαν,[3] *τὴν νύκτα, καθ' ἣν παρεδίδετο, μᾶλλον δὲ παρέδιδεν ἑαυτὸν ὑπὲρ τῆς ζωῆς τοῦ κόσμου, λαβὼν ἄρτον εἰς τὰς ἁγίας αὐτοῦ, καὶ ἀχράντους, καὶ ἀμωμήτους χεῖρας, εὐχαριστήσας, καὶ εὐλογήσας, ἁγιάσας, καὶ κόψας αὐτόν, ἔδωκεν εἰς τοὺς ἁγίους αὐτοῦ μαθητάς, καὶ ἀποστόλους, εἰπών,*

ἅτινα πάντα εἶχον τέσσαρα πρόσωπα, δηλ. ἀνθρώπου (λέγοντα), λέοντος (κεκραγότα), μόσχου (βοῶντα), καὶ ἀετοῦ (ᾄδοντα).

[3] Τὸ ἔργον δηλ. τῆς ἀπολυτρώσεως διὰ τῆς ἐπὶ τοῦ σταυροῦ ἐξιλεωτικῆς θυσίας. Ἀναφέρεται δ' ἐνταῦθα ἡ οἰκονομία κατὰ πρόληψιν ὡς πρὸς τὴν τοῦ λόγου συνέχειαν.

ΚΕΙΜΕΝΟΝ.

Ὁ Ἱερεὺς ἐκφώνως.

Λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι, λέγων,

Ὁ Ἱερεὺς ἐκφώνως.

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Μεμνημένοι τοίνυν τῆς σωτηρίου ταύτης ἐντολῆς, καὶ πάντων τῶν ὑπὲρ ἡμῶν γεγενημένων, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς τριημέρου ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς ἐκ δεξιῶν καθέδρας, τῆς δευτέρας, καὶ ἐνδόξου πάλιν παρουσίας,

Ὁ Ἱερεὺς ἐκφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα, καὶ διὰ πάντα.

Ὁ Ἱερεὺς μυστικῶς.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν, κατάπεμψον τὸ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Λάβετε, φάγετε, τοῦτο εἶναι τὸ σῶμά μου, τὸ ὁποῖον κόπτεται ὑπὲρ ὑμῶν εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Ὁμοίως καὶ τὸ ποτήριον, ἀφ' οὗ ἐδείπνησε, λέγων,

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτο εἶναι τὸ αἷμά μου, τὸ τῆς νέας διαθήκης, ὅπερ ἐκχύνεται ὑπὲρ ὑμῶν, καὶ ὑπὲρ πολλῶν εἰς ἄφεσιν ἁμαρτιῶν.

Ὁ Ἱερεὺς μυστικῶς.

Καὶ λοιπὸν ἐνθυμούμενοι τὴν σωτήριον ταύτην ἐντολήν, καὶ πάντα τὰ ὑπὲρ ἡμῶν γενόμενα, τὸν σταυρόν, τὸν τάφον, τὴν τριήμερον ἀνάστασιν, τὴν εἰς οὐρανοὺς ἀνάβασιν, τὴν ἐκ δεξιῶν (τοῦ πατρὸς) κάθεσιν, τὴν δευτέραν καὶ ἔνδοξον πάλιν παρουσίαν,

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Τὰ σὰ ἐκ τῶν σῶν προσφέρομεν εἰς σὲ κατὰ πάντα (χρόνον), καὶ διὰ πάντα (τὰ εὐεργετήματα).

Ὁ Ἱερεὺς μυστικῶς.

Ἔτι προσφέρομεν εἰς σὲ τὴν λογικὴν ταύτην, καὶ ἀναίμακτον λατρείαν, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα. καὶ ἱκετεύομεν, κατάπεμψον τὸ

ΚΕΙΜΕΝΟΝ.

πνεῦμά σου τὸ ἅγιον ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ προκείμενα δῶρα ταῦτα.

Εἶτα εὔχονται ὅ, τε Ἱερεὺς καὶ ὁ Διάκονος λέγοντες.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ ἀνιστάμενος ὁ Ἱερεὺς σφραγίζει[1] τὰ ἅγια δῶρα, λέγων,

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου·

Ὁ Διάκονος.

Ἀμήν.

Ὁ Ἱερεύς.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος.

Ἀμήν.

Ὁ Ἱερεύς.

Μεταβαλὼν τῷ πνεύματί σου τῷ ἁγίῳ,

Ὁ Διάκονος.

Ἀμήν (τρίς).

---

[1] Δηλ. κάμνει διὰ τῆς χειρὸς τρεῖς σταυροὺς ἐπάνω εἰς τὰ ἅγια δῶρα.

ΠΑΡΑΦΡΑΣΙΣ.

πνεῦμά σου τὸ ἅγιον εἰς ἡμᾶς, καὶ εἰς τὰ προκείμενα ταῦτα δῶρα.

Ἔπειτα προσεύχονται καὶ ὁ Ἱερεὺς καὶ ὁ Διάκονος λέγοντες.

Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.

Καὶ ἀνιστάμενος ὁ Ἱερεὺς σφραγίζει[1] τρὶς τὰ ἅγια δῶρα, λέγων,

Καὶ ποίησον τὸν μὲν ἄρτον τοῦτον τίμιον σῶμα τοῦ Χριστοῦ σου·

Ὁ Διάκονος.

Ἀμήν.

Ὁ Ἱερεύς.

Τὸ δὲ ἐν τῷ ποτηρίῳ τούτῳ τίμιον αἷμα τοῦ Χριστοῦ σου.

Ὁ Διάκονος.

Ἀμήν.

Ὁ Ἱερεύς.

Μεταβαλὼν διὰ τοῦ πνεύματός σου τοῦ ἁγίου.

Ὁ Διάκονος.

Ἀμήν (τρίς).

KEIMENON.

Ὁ Ἱερεὺς μυστικῶς.

Ὥστε γενέσθαι τοῖς μεταλαμβάνουσιν εἰς νῆψιν[1] ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου σου πνεύματος, εἰς βασιλείας οὐρανῶν πλήρωμα, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ κρῖμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν,[2] ὑπὲρ τῶν ἐν πίστει ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, καὶ παντὸς πνεύματος ἐν πίστει τετελειωμένου,

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἐξαιρέτως τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,[3]

---

[1] Νῆψιν ψυχῆς ἔχουσι συνήθως αἱ διάφοροι ἐκδόσεις τῶν λειτουργιῶν. Μήπως ὅμως ὀρθότερον εἶναι τὸ νίψιν, δηλ. νίψιμον, πλύσιμον· διότι βεβαίως ἡ ἄφεσις τῶν ἁμαρτιῶν εἶναι πλύσιμον τῆς ψυχῆς.

[2] Ἡ λογικὴ λατρεία, ἡ ἐν τῷ παρόντι τῆς θείας Εὐχαριστίας μυστηρίῳ προσφερομένη, εἶναι λογικὴ καὶ ἀναίμακτος θυσία. Εἶναι δὲ ἡ θυσία αὕτη παραβαλλομένη πρὸς τὴν ἐφ' ἅπαξ γενομένην θυσίαν ἐπὶ τοῦ σταυροῦ κατὰ μὲν τὴν σφαγὴν τοῦ θύματος, θυσία ἀναμνηστική, κατὰ δὲ τὸ ἀποτέλεσμα θυσία ἱλαστήριος, ἐνεργός, ἀληθὴς καὶ πραγματική. Τοῦτο σημαίνει οὐχὶ ὅτι ἡ ἐφ' ἅπαξ κατὰ τὸν ἀπόστολον (Ἑβρ. 7, 27, 9 28) ἐπὶ τοῦ σταυροῦ γενομένη θυσία τοῦ Χριστοῦ δὲν ἦτον ἐξαρκοῦσα θυσία, ἀλλ' ὅτι ἡ δύναμις τῆς ἐπὶ τοῦ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Ἱερεὺς *μυστικῶς.*

Ὥστε νὰ χρησιμεύσωσιν εἰς τοὺς μεταλαμβάνοντας εἰς νῆψιν (φρονίμευσιν)[1] *τῆς ψυχῆς, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς ἐπίτευξιν τῆς βασιλείας τῶν οὐρανῶν, εἰς τὴν πρὸς σὲ παῤῥησίαν, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα. Ἔτι προσφέρομεν εἰς σὲ τὴν λογικὴν ταύτην λατρείαν*[2] *ὑπὲρ τῶν μετὰ πίστεως ἀναπαυσαμένων προπατόρων, πατέρων, πατριαρχῶν, προφητῶν, ἀποστόλων, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, ἐγκρατευτῶν, κοὶ ὑπὲρ παντὸς πνεύματος μετὰ πίστεως τετελειωμένου,*

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Ἐξαιρέτως ὑπὲρ τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας,[3]

σταυροῦ θυσίας ἐπιδρᾷ, καὶ μᾶς ὠφελεῖ ὅταν, οὕτως εἰπεῖν, ἐφαρμόζηται καὶ φέρηται εἰς ἀποτέλεσμα διὰ ταύτης τῆς ἐν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας θυσίας, ἥτις καὶ αὐτὴ οὖσα πραγματικῶς ἱλαστήριος δὲν εἶναι νέα θυσία, ἀλλ' αὐτὴ ἡ ἐπὶ τοῦ σταυροῦ ἐφ' ἅπαξ προσενεχθεῖσα, ἐφαρμοζομένη μόνον εἰς τὴν σωτηρίαν τῶν καθ' ἑκάστους πιστῶν.

[3] *Τὸ ὅτι μνημονεύονται ἐνταῦθα οἱ προπάτορες, πατέρες .... ἐξαιρέτως ἡ θεοτόκος Μαρία .... καὶ πάντες οἱ ἅγιοι, τοῦτο σημαίνει ὅτι προβάλλονται ὡς πρέσβεις καὶ ἱκέται ὑπὲρ τῶν κεκοιμημένων, ὡς καταφαίνεται ἐκ τοῦ "ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός." Ὁ δὲ Ἱερεὺς παρακαλεῖ τὸν Θεόν, ἵνα αἱ μεσιτεῖαι καὶ ἱκεσίαι τῶν ἁγίων γίνωσιν ἀποδεκταί. Τοῦτο δηλοῖ τὸ ὑπὲρ τῶν . .*

ΚΕΙΜΕΝΟΝ.

Ὁ Διάκονος μνημονεύει τὰ δίπτυχα[1] τῶν κεκοιμημένων.

Ὁ Ἱερεὺς μυστικῶς.

Τοῦ ἁγίου Ἰωάννου προφήτου προδρόμου, καὶ βαπτιστοῦ, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, τοῦ ἁγίου (τοῦ δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ὧν ταῖς ἱκεσίαις ἐπίσκεψαι ἡμᾶς ὁ Θεός. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, τῶν ὀρθοτομούντων τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος.

Ἔτι προσφέρομέν σοι τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς, καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ διαγόντων, ὑπὲρ τῶν πιστοτάτων, καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς αὐτοῖς, Κύριε, εἰρηνικὸν τὸ βασίλειον, ἵνα

[1] Τὰ δίπτυχα (ἐκ τοῦ πτύσσω=διπλόνω) ἦσαν δύο σανίδια διὰ σιδήρων συνηνωμένα, ὥστε νὰ ἀνοίγωσι καὶ νὰ κλείωσιν ὡς βιβλίον. Ἐπ' αὐτῶν ἐγράφοντο τὰ ὀνόματα τῶν κεκοιμη-

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Διάκονος μνημονεύει τὰ δίπτυχα[1] *τῶν κεκοιμημένων.*

Ὁ Ἱερεὺς μυστικῶς.

Ὑπὲρ τοῦ ἁγίου Ἰωάννου προφήτου προδρόμου, καὶ βαπτιστοῦ, ὑπὲρ τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, ὑπὲρ τοῦ ἁγίου (τῆς ἡμέρας), τοῦ ὁποίου καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ ὑπὲρ πάντων σου τῶν ἁγίων, διὰ τῶν ἱκεσιῶν τῶν ὁποίων, Θεέ, ἐπίσκεψαι ἡμᾶς. Καὶ μνήσθητι πάντων τῶν προκεκοιμημένων ἐπ' ἐλπίδι ἀναστάσεως ζωῆς αἰωνίου.

Καὶ ἀνάπαυσον αὐτούς, ὁ Θεὸς ἡμῶν, ὅπου φέγγει τὸ φῶς τοῦ προσώπου σου. Ἔτι παρακαλοῦμέν σε, μνήσθητι, Κύριε, πάσης ἐπισκοπῆς ὀρθοδόξων, οἵτινες ὀρθῶς διδάσκουσι τὸν λόγον τῆς σῆς ἀληθείας, παντὸς τοῦ πρεσβυτερίου τῆς ἐν Χριστῷ διακονίας, καὶ παντὸς ἱερατικοῦ καὶ μοναχικοῦ τάγματος.

Ἔτι προσφέρομεν εἰς σὲ τὴν λογικὴν ταύτην λατρείαν ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, ὑπὲρ τῶν ζώντων σωφρόνως καὶ σεμνῶς, ὑπὲρ τῶν πιστοτάτων καὶ φιλοχρίστων ἡμῶν βασιλέων, παντὸς τοῦ παλατίου καὶ τοῦ στρατοπέδου αὐτῶν. Δὸς εἰς αὐτούς, Κύριε, εἰρηνικὸν τὸ βασί-

---

μένων. Ἦσαν προσέτι δίπτυχα τῶν ζώντων, *καὶ* δίπτυχα τῶν ἁγίων.

ΚΕΙΜΕΝΟΝ.

καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), ὃν χάρισαι ταῖς ἁγίαις σου ἐκκλησίαις ἐν εἰρήνῃ, σῶον, ἔντιμον, ὑγιᾶ, μακροημερεύοντα, καὶ ὀρθοτομοῦντα τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος μνημονεύει τὰ δίπτυχα τῶν ζώντων.

Ὁ Ἱερεὺς μυστικῶς.

Μνήσθητι, Κύριε, τῆς πόλεως, ἐν ᾗ παροικοῦμεν,[1] *καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν πίστει οἰκούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ μεμνημένων τῶν πενήτων, καὶ ἐπὶ πάντας ἡμᾶς τὰ ἐλέη σου ἐξαπόστειλον.*

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι, καὶ μιᾷ καρδίᾳ

---

[1] Καθότι εἴμεθα πάροικοι ἐν τῷ παρόντι κόσμῳ, ἡ δὲ πατρὶς ἡμῶν εἶναι ἐν οὐρανοῖς. Πρβλ. Α΄. Πέτρου 2, 11· "Ἀγαπητοὶ παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχε-

λειον, ἵνα καὶ ἡμεῖς ἐν τῇ γαλήνῃ αὐτῶν διάγωμεν ἤρεμον καὶ ἡσύχιον βίον μετὰ πάσης εὐσεβείας καὶ σεμνότητος.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ ἀρχιεπισκόπου ἡμῶν (τοῦ δεῖνος), τὸν ὁποῖον χάρισαι εἰς τὰς ἁγίας σου ἐκκλησίας ἐν εἰρήνῃ, σῷος, ἔντιμος, καὶ ὑγιὴς νὰ μακροημερεύῃ καὶ ὀρθῶς νὰ διδάσκῃ τὸν λόγον τῆς σῆς ἀληθείας.

Ὁ Διάκονος μνημονεύει τὰ δίπτυχα τῶν ζώντων.

Ὁ Ἱερεὺς μυστικῶς.

Μνήσθητι, Κύριε, τῆς πόλεως, ὅπου παροικοῦμεν,[1] καὶ πάσης πόλεως, καὶ χώρας, καὶ τῶν μετὰ πίστεως κατοικούντων ἐν αὐταῖς. Μνήσθητι, Κύριε, πλεόντων, ὁδοιπορούντων, νοσούντων, ἀσθενούντων, αἰχμαλώτων, καὶ τῆς σωτηρίας αὐτῶν. Μνήσθητι, Κύριε, τῶν καρποφορούντων, καὶ καλλιεργούντων ἐν ταῖς ἁγίαις σου ἐκκλησίαις, καὶ ἐνθυμουμένων τοὺς πένητας, καὶ ἐξαπόστειλον εἰς πάντας ἡμᾶς τὰ ἐλέη σου.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Καὶ δὸς εἰς ἡμᾶς δι' ἑνὸς στόματος καὶ μιᾶς

σθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς."

ΚΕΙΜΕΝΟΝ.

δοξάζειν, καὶ ἀνυμνεῖν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καί εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

Ὁ Διάκονος.

Πάντων τῶν ἁγίων μνημονεύσαντες,
Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων, τοῦ Κυρίου δεηθῶμεν.
Ὅπως ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεξάμενος αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντικαταπέμψῃ ἡμῖν τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ ἁγίου πνεύματος, δεηθῶμεν.
Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν

Ὁ Ἱερεὺς μυστικῶς.

Σοὶ παρακατατιθέμεθα τὴν ζωὴν ἡμῶν ἅπασαν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν,

ΠΑΡΑΦΡΑΣΙΣ.

καρδίας νὰ δοξάζωμεν, καὶ ἀνυμνῶμεν τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ὄνομά σου, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Καὶ θὰ ἦναι τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ἡμῶν.

Ὁ Διάκονος.

Ἀφ' οὗ ἐμνημονεύσαμεν πάντας τοὺς ἁγίους,
Ἔτι καὶ ἔτι ἂς παρακαλέσωμεν τὸν Κύριον.
Ἂς παρακαλέσωμεν τὸν Κύριον ὑπὲρ τῶν προσκομισθέντων καὶ ἁγιασθέντων τιμίων δώρων.
Ἵνα ὁ φιλάνθρωπος Θεὸς ἡμῶν, ὁ προσδεχθεὶς αὐτὰ εἰς τὸ ἅγιον, καὶ ὑπερουράνιον, καὶ νοερὸν αὐτοῦ θυσιαστήριον, εἰς ὀσμὴν εὐωδίας πνευματικῆς, ἀντ' αὐτῶν καταπέμψῃ εἰς ἡμᾶς τὴν θείαν χάριν, καὶ τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος.
Ἂς παρακαλέσωμεν τὸν Κύριον, ἵνα ἐλευθερωθῶμεν (ὑπ' αὐτοῦ) ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου, καὶ στενοχωρίας.

Ὁ Ἱερεὺς *μυστικῶς.*

Εἰς σὲ παρακαταθέτομεν ἅπασαν τὴν ζωὴν ἡμῶν, καὶ τὴν ἐλπίδα, Δέσποτα φιλάνθρωπε, καὶ παρακαλοῦμεν, καὶ δεόμεθα, καὶ ἱκετεύομεν,

ΚΕΙΜΕΝΟΝ.

καταξίωσον ἡμᾶς μεταλαβεῖν τῶν ἐπουρανίων σου, καὶ φρικτῶν μυστηρίων, ταύτης τῆς ἱερᾶς, καὶ πνευματικῆς τραπέζης, μετὰ καθαροῦ συνειδότος, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμελημάτων, εἰς πνεύματος ἁγίου κοινωνίαν, εἰς βασιλείας οὐρανῶν κληρονομίαν, εἰς παῤῥησίαν τὴν πρὸς σέ, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν, καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρὰ τοῦ Κυρίου αἰτησώμεθα.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν

ΠΑΡΑΦΡΑΣΙΣ.

καταξίωσον ἡμᾶς νὰ μεταλάβωμεν τῶν ἐπουρανίων σου καὶ φρικτῶν μυστηρίων, τῆς ἱερᾶς ταύτης καὶ πνευματικῆς τραπέζης, μετὰ καθαρᾶς συνειδήσεως, εἰς ἄφεσιν ἁμαρτιῶν, εἰς συγχώρησιν πλημμεληλημάτων, εἰς κοινωνίαν τοῦ ἁγίου πνεύματος, εἰς κληρονομίαν τῆς βασιλείας τῶν οὐρανῶν, εἰς τὴν μετὰ θάῤῥους ἐνώπιόν σου ἐμφάνισιν, μὴ εἰς κρῖμα, ἢ εἰς κατάκριμα.

Ὁ Διάκονος.

Βοήθησον, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος.

Ἄς ζητήσωμεν παρὰ τοῦ Κυρίου πᾶσαν τὴν ἡμέραν, τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον.

Ἄς ζητήσωμεν παρὰ τοῦ Κυρίου ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ἄς ζητήσωμεν παρὰ τοῦ Κυρίου συγχώρησιν καὶ ἄφεσιν τῶν ἁμαρτημάτων καὶ τῶν πλημμελημάτων ἡμῶν.

Ἄς ζητήσωμεν παρὰ τοῦ Κυρίου τὰ καλὰ καὶ συμφέροντα εἰς τὰς ψυχὰς ἡμῶν, καὶ εἰρήνην διὰ τὸν κόσμον.

Ἄς ζητήσωμεν παρὰ τοῦ Κυρίου, ἵνα διέλθωμεν τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν μετ' εἰρήνης καὶ μετανοίας.

Ἄς ζητήσωμεν, ἵνα τὰ τέλη τῆς ζωῆς ἡμῶν ἀποβῶσι χριστιανά, χωρὶς πόνων, χωρὶς αἰσχύ-

ΚΕΙΜΕΝΟΝ.

τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως τολμᾷν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θεὸν πατέρα, καὶ λέγειν·

Πάτερ ἡμῶν . . . . . .

Ὁ Ἱερεύς.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος.

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι, βασιλεῦ ἀόρατε, ὁ τῇ ἀμετρήτῳ σου δυνάμει τὰ πάντα δημιουργήσας, καὶ τῷ πλήθει τοῦ ἐλέους σου ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, αὐτός, Δέσποτα, οὐρανόθεν ἔπιδε ἐπὶ τοὺς ὑποκεκλικότας

ΠΑΡΑΦΡΑΣΙΣ.

νης, καὶ εἰρηνικά, καὶ ἵνα καλῶς ἀπολογηθῶμεν ἔμπροσθεν τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ.

Ἀφ' οὗ ζητήσωμεν τὴν ἑνότητα τῆς πίστεως, καὶ τὴν κοινωνίαν τοῦ ἁγίου πνεύματος ἂς παρακαταθέσωμεν εἰς Χριστὸν τὸν Θεὸν ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα, μετὰ παῤῥησίας ἀκατακρίτως νὰ τολμῶμεν νὰ ἐπικαλώμεθα σὲ τὸν ἐπουράνιον Θεὸν πατέρα, καὶ νὰ λέγωμεν·
Πάτερ ἡμῶν . . . . .

Ὁ Ἱερεύς.

Διότι σοῦ εἶναι ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Εἰρήνη εἰς πάντας.

Ὁ Διάκονος.

Τὰς κεφαλὰς ὑμῶν εἰς τὸν Κύριον κλίνατε.

Ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμεν εἰς σέ, βασιλεῦ ἀόρατε, ὁ διὰ τῆς ἀμετρήτου σου δυνάμεως τὰ πάντα δημιουργήσας, καὶ διὰ τοῦ πλήθους τοῦ ἐλέους σου ἐκ μὴ ὄντων παραγαγὼν εἰς τὸ εἶναι τὰ σύμπαντα, σὺ ὁ ἴδιος, Δέσποτα, ἐκ τοῦ οὐρανοῦ ἐπίβλεψον

σοι τὰς ἑαυτῶν κεφαλάς· οὐ γὰρ ἔκλιναν σαρκὶ καὶ αἵματι, ἀλλὰ σοὶ τῷ φοβερῷ Θεῷ. Σὺ οὖν, Δέσποτα, τὰ προκείμενα πᾶσιν ἡμῖν εἰς ἀγαθὸν ἐξομάλισον, κατὰ τὴν ἑκάστου ἰδίαν χρείαν· τοῖς πλέουσι σύμπλευσον, τοῖς ὁδοποροῦσι συνόδευσον· τοὺς νοσοῦντας ἴασαι, ὁ ἰατρὸς τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Ὁ Ἱερευς ἐκφώνως.

Χάριτι καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου υἱοῦ, μεθ' οὗ εὐλογητὸς εἶ σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς μυστικῶς.

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος, καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ.

Ὁ Διάκονος.

Πρόσχωμεν.

ΠΑΡΑΦΡΑΣΙΣ.

εἰς τοὺς ὑποκλίναντας εἰς σὲ τὰς ἑαυτῶν κεφαλάς· διότι δὲν ἔκλιναν εἰς σάρκα, καὶ εἰς αἷμα, ἀλλ' εἰς σὲ τὸν φοβερὸν Θεόν. Σὺ λοιπόν, Δέσποτα, κάμε τὰ προκείμενα (δῶρα) νὰ χρησιμεύσωσι διὰ πάντας ἡμᾶς εἰς ἀγαθόν, κατὰ τὴν ἰδίαν ἑκάστου χρείαν· μετὰ τῶν πλεόντων σύμπλευσον, τοὺς ὁδοιποροῦντας συνόδευσον· τοὺς νοσοῦντας θεράπευσον, σὺ ἰατρὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν.

Ὁ Ἱερεὺς *μεγαλοφώνως.*

Διὰ τῆς χάριτος καὶ τῶν οἰκτιρμῶν, καὶ τῆς φιλανθρωπίας τοῦ μονογενοῦς σου υἱοῦ, μετὰ τοῦ ὁποίου εἶσαι εὐλογητὸς σὺ καὶ τὸ πανάγιον, καὶ τὸ ἀγαθόν, καὶ ζωοποιόν σου Πνεῦμα, τώρα καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεὺς *μυστικῶς.*

Πρόσχες, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης τῆς βασιλείας σου, καὶ ἐλθὲ εἰς τὸ νὰ ἁγιάσῃς ἡμᾶς, ὁ ἄνω μετὰ τοῦ πατρὸς καθήμενος, καὶ ἐδῶ ἀοράτως μεθ' ἡμῶν συνυπάρχων, καὶ καταξίωσον διὰ τῆς κραταιᾶς σου χειρὸς νὰ μεταδώσῃς εἰς ἡμᾶς τοῦ ἀχράντου σώματός σου, καὶ τοῦ τιμίου αἵματος, καὶ δι' ἡμῶν εἰς πάντα τὸν λαόν.

Ὁ Διάκονος.

Πρόσχωμεν (ἂς προσέξωμεν, προσοχή).

ΚΕΙΜΕΝΟΝ.

Ὁ Ἱερεύς.

Τὰ ἅγια τοῖς ἁγίοις.[1]

Εἶτα τῆς μεταλήψεως τελειωθείσης, ἐπεύχεται
Ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμέν σοι, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, ὅτι καὶ τῇ παρούσῃ ἡμέρᾳ κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Ὀρθοτόμησον ἡμῶν τὴν ὁδόν, στήριξον ἡμᾶς ἐν τῷ φόβῳ σου τοὺς πάντας, φρούρησον ἡμῶν τὴν ζωήν, ἀσφάλισαι ἡμῶν τὰ διαβήματα, εὐχαῖς καὶ ἱκεσίαις τῆς ἐνδόξου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

Ὁ Διάκονος.

Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ὁ Ἱερεύς.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ Ἱερεὺς μυστικῶς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

---

[1] Τὰ ἅγια δῶρα, τὸ τίμιον δηλ. σῶμα καὶ τὸ τίμιον αἷμα εἶναι διὰ τοὺς ἁγίους, τοὺς καταξιωθέντας τοῦ ἁγίου πνεύματος, τοὺς οὐχὶ φύσει, ἀλλὰ μετοχῇ καὶ ἀσκήσει ἁγίους ἀνθρώπους. Ὁ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Ἱερεύς.

Τὰ ἅγια διὰ τοὺς ἁγίους.[1]

Ἔπειτα ἀφοῦ τελειωθῇ ἡ μετάληψις, ἐπεύχεται ὁ Ἱερεὺς μυστικῶς.

Εὐχαριστοῦμεν εἰς σέ, Δέσποτα φιλάνθρωπε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν, διότι καὶ κατὰ τὴν παροῦσαν ἡμέραν κατηξίωσας ἡμᾶς τῶν ἐπουρανίων σου καὶ ἀθανάτων μυστηρίων. Δὸς νὰ πολιτευθῶμεν εὐσεβῶς, στήριξον πάντας ἡμᾶς ἐν τῷ φόβῳ σου, φρούρησον τὴν ζωὴν ἡμῶν, ἀσφάλισαι τὰ διαβήματα ἡμῶν, δι' εὐχῶν καὶ ἱκεσιῶν τῆς ἐνδόξου θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων σου.

Ὁ Διάκονος.

Μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης προσέλθετε.

Ὁ Ἱερεύς.

Σῶσον, Θεέ, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Ὁ Ἱερεὺς μυστικῶς.

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν,

δὲ λαὸς ἀποκρίνεται "εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός," δηλ. φύσει ἅγιος.

ΚΕΙΜΕΝΟΝ.

καὶ ἐκφώνως.

Πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Ὀρθοὶ μεταλαβόντες[1] τῶν θείων, ἁγίων, ἀχράντων, ἀθανάτων, ἐπουρανίων, καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως εὐχαριστήσωμεν τῷ Κυρίῳ.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τὴν ἡμέραν πᾶσαν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον αἰτησάμενοι, ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ Ἱερεὺς ἐκφώνως.

Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς.

Ἐν εἰρήνῃ προέλθωμεν.

---

[1] Ὀρθοὶ μεταλαβόντες, δηλ. ὀρθοὶ τὸν νοῦν, καὶ τὴν καρδίαν, μετὰ καθαροῦ νοὸς καὶ καρδίας = μετὰ φόβου Θεοῦ, πίστεως, καὶ ἀγάπης.

καὶ μεγαλοφώνως.

Πάντοτε, τώρα, καὶ ἀκαταπαύστως, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Διάκονος.

Μετὰ καθαροῦ νοὸς καὶ καρδίας[1] *μεταλαβόντες τῶν θείων, ἁγίων, ἀχράντων ἀθανάτων, ἐπουρανίων, καὶ ζωοποιῶν, φρικτῶν τοῦ Χριστοῦ μυστηρίων, ἀξίως ἂς εὐχαριστήσωμεν εἰς τὸν Κύριον.*

Βοήθησον, ὦ Θεέ, σῶσον, ἐλέησον, καὶ διαφύλαξον ἡμᾶς διὰ τῆς σῆς χάριτος.

Ζητήσαντες πᾶσαν τὴν ἡμέραν τελείαν, ἁγίαν, εἰρηνικήν, καὶ ἀναμάρτητον, ἂς παρακαταθέσωμεν εἰς Χριστὸν τὸν Θεὸν ἑαυτούς, καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Διότι σὺ εἶσαι ὁ ἁγιασμὸς ἡμῶν, καὶ εἰς σὲ ἀναπέμπομεν τὴν δόξαν εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἱερεύς.

Μετ' εἰρήνης ἂς ἐξέλθωμεν.

ΚΕΙΜΕΝΟΝ.

Ὁ Διάκονος.

Τοῦ Κυρίου δεηθῶμεν.

ΕΥΧΗ ΟΠΙΣΘΑΜΒΩΝΟΣ,[1]

ἣν λέγει ὁ Ἱερεὺς ἐκφώνως.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ αὐτοὺς ἀντιδόξασον τῇ θεϊκῇ σου δυνάμει, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς, τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην τῷ κόσμῳ σου δώρησαι, ταῖς ἐκκλησίαις σου, τοῖς ἱερεῦσι, τοῖς βασιλεῦσιν ἡμῶν, τῷ στρατῷ, καὶ παντὶ τῷ λαῷ σου. Ὅτι πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων, καὶ σοὶ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

[1] Ὀπισθάμβωνος, δηλ. ὄπισθεν τοῦ ἄμβωνος ἀναγινωσκομένη. Ἄμβων (ἐκ τοῦ ἀναβαίνω) εἶναι τὸ μέρος, ὅπου ἀναβαίνων ὁ ἱεροκῆρυξ κηρύττει τὸν λόγον τοῦ Θεοῦ. Σήμερον

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὁ Διάκονος.

Ἂς παρακαλέσωμεν τὸν Κύριον.

ΕΥΧΗ ΟΠΙΣΘΑΜΒΩΝΟΣ,[1]

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μεγαλοφώνως.

Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε, καὶ ἁγιάζων τοὺς ἐπὶ σοὶ πεποιθότας, σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, τὸ πλήρωμα τῆς ἐκκλησίας σου φύλαξον, ἁγίασον τοὺς ἀγαπῶντας τὴν εὐπρέπειαν τοῦ οἴκου σου. Σὺ ἀντιδόξασον αὐτοὺς διὰ τῆς θεϊκῆς σου δυνάμεως, καὶ μὴ ἐγκαταλίπῃς ἡμᾶς τοὺς ἐλπίζοντας ἐπὶ σέ. Εἰρήνην δώρησαι εἰς τὸν κόσμον σου, εἰς τὰς ἐκκλησίας σου, εἰς τοὺς ἱερεῖς, εἰς τοὺς βασιλεῖς ἡμῶν, εἰς τὸν στρατόν, καὶ εἰς πάντα τὸν λαόν σου. Διότι πᾶσα δόσις ἀγαθή, καὶ πᾶν δώρημα τέλειον ἄνωθεν καταβαίνει ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων, καὶ εἰς σὲ τὴν δόξαν, καὶ εὐχαριστίαν, καὶ προσκύνησιν ἀναπέμπομεν εἰς τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ ἅγιον Πνεῦμα, τώρα, καὶ πάντοτε, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

οἰκοδομεῖται εἰς τὸν ἀριστερὸν τῷ εἰσιόντι τοῖχον τοῦ ναοῦ, τὸ πάλαι ὅμως πρὸς τὰς θύρας τοῦ βήματος.

ΚΕΙΜΕΝΟΝ.

ΕΥΧΗ

ἐν τῷ συστεῖλαι τὰ ἅγια, ἣν λέγει ὁ Ἱερεὺς μυστικῶς.

Τὸ πλήρωμα τοῦ νόμου, καὶ τῶν προφητῶν, αὐτὸς ὑπάρχων, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πληρώσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταύτης δὲ πληρωθείσης, λέγει ὁ Διάκονος,

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐκφώνως.

Εὐλογία Κυρίου ἐφ' ἡμᾶς τῇ αὐτοῦ θείᾳ χάριτι, καὶ φιλανθρωπίᾳ, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.[1]

Εἶτα λέγει,

Δόξα σοι Χριστέ, ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Λαός.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.

---

[1] *Τὸ ἀντίδωρον διανέμεται ὑπὸ τοῦ Ἱερέως λέγοντος τὸ "εὐλογία Κυρίου κτλ." ἀντὶ τῶν τιμίων δώρων εἰς τοὺς μὴ μεταλαβόντας χριστιανοὺς χάριν ἁγιασμοῦ. Σημαίνει δὲ τὸ*

ΠΑΡΑΦΡΑΣΙΣ.

ΕΥΧΗ,

τὴν ὁποίαν λέγει ὁ Ἱερεὺς μυστικῶς, ὅταν συνάζῃ τὰ ἅγια.

Σὺ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὑπάρχων τὸ πλήρωμα τοῦ νόμου, καὶ τῶν προφητῶν, ὁ ἐκτελέσας πᾶσαν πατρικὴν οἰκονομίαν, πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν πάντοτε, τώρα, καὶ ἀκαταπαύστως, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταύτης δὲ τελειωθείσης, ὁ Διάκονος λέγει,

Ἄς παρακαλέσωμεν τὸν Κύριον.

Ὁ Ἱερεὺς μεγαλοφώνως.

Εὐλογία Κυρίου ἐφ' ἡμᾶς διὰ τῆς αὐτοῦ θείας χάριτος, καὶ φιλανθρωπίας, πάντοτε, τώρα, καὶ ἀκαταπαύστως, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. [1]

Ἔπειτα λέγει,

Δόξα σοι Χριστέ, ὁ Θεὸς ἡμῶν, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Λαός.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ πνεύματι.

ἀντίδωρον τὸ εὐλογημένον τῆς Θεοτόκου σῶμα, ἐξ οὗ ἐλήφθη τὸ σῶμα τοῦ Κυρίου.

ΚΕΙΜΕΝΟΝ.

Καὶ ποιεῖ ἀπόλυσιν ὡς ἑξῆς ὁ Ἱερεύς.

Ὁ ἀναστὰς ἐκ νεκρῶν.

(εἰ ἐστὶ Κυριακή.)

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

Ταῖς πρεσβείαις τῆς παναχράντου, δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας·

Δυνάμει τοῦ τιμίου, καὶ ζωοποιοῦ σταυροῦ· Προστασίαις τῶν τιμίων, ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου, ἐνδόξου, προφήτου, προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, καὶ οἰκουμενικῶν διδασκάλων, καὶ ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου, καὶ Κυρίλλου, Ἰωάννου τοῦ ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρίας, Νικολάου τοῦ ἐν Μύροις [1] Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος [2] τοῦ θαυματουργοῦ, τῶν ἁγίων, ἐνδόξων, μεγάλων μαρτύρων, Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρων, Τύρωνος καὶ Στρατηλάτου, τῶν ἁγίων, ἐνδόξων, καὶ καλλινίκων μαρτύρων,

---

[2] Μύρα, πόλις τῆς Λυκίας, ἐπαρχίας τῆς Μικρᾶς Ἀσίας.

[1] Τριμη(υ)θοῦς καὶ Τρεμιθοῦς εἶναι κώμη τῆς Κύπρου.

ΠΑΡΑΦΡΑΣΙΣ.

Καὶ *κάμνει ὁ* Ἱ*ερεὺς ἀπόλυσιν ὡς ἑξῆς.*

Ὁ *ἀναστὰς ἐκ νεκρῶν.*

(*ἂν ἦναι* Κ*υριακή.*)

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν·

Διὰ τῶν πρεσβειῶν τῆς παναχράντου, δεσποίνης ἡμῶν θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας·

Διὰ τῆς δυνάμεως τοῦ τιμίου καὶ ζωοποιοῦ σταυροῦ, διὰ τῶν προστασιῶν τῶν τιμίων, ἐπουρανίων δυνάμεων ἀσωμάτων, τοῦ τιμίου, ἐνδόξου, προφήτου προδρόμου, καὶ βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων, καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν ἁγίοις πατέρων ἡμῶν, καὶ οἰκουμενικῶν διδασκάλων, καὶ ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις,[1] *Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος*[2] *τοῦ θαυματουργοῦ, τῶν ἁγίων ἐνδόξων, μεγάλων μαρτύρων, Γεωργίου τοῦ τροπαιοφόρου, Δημητρίου τοῦ μυροβλήτου, Θεοδώρων, Τύρωνος*[3] *καὶ στρατηλάτου, τῶν ἁγίων, ἐνδόξων, καὶ καλλινίκων μαρτύρων.*

---

[3] **Τύρωνος ἢ ὀρθότερον τίρωνος, ὅ ἐστι ἐκ τοῦ τάγματος τῶν τιρώνων (tiro, onis) δηλ. τῶν νεοσυλλέκτων.**

ΚΕΙΜΕΝΟΝ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου,
Τοῦ ἁγίου (τῆς ἐκκλησίας),
Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν,
Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (δεῖνος), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

ΑΜΗΝ.

ΠΑΡΑΦΡΑΣΙΣ.

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ Χρυσοστόμου,

Τοῦ ἁγίου (τῆς ἡμέρας).

Τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν,

Τῶν ἁγίων, καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τοῦ ἁγίου (δεῖνος), τοῦ ὁποίου καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων, ἐλέησον, καὶ σῶσον ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, καὶ ἐλεήμων Θεός.

Δι' εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.

ΑΜΗΝ.

ΕΝ ΛΟΝΔΙΝΩι,
ΤΥΠΟΙΣ CLAYTON & CO., 17, BOUVERIE STREET,
FLEET STREET.